# 0345-0407 - Iohannes Chrysostomus - De precatione [2]

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.**
**On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.**
**Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 365 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De precatione

[00001] ΟΜΙΛΙΑ αʹ.

[00002] Περὶ εὐχῆς

64.461

[00003] Πρότερον διεξελθόντες ὑμῖν περὶ νηστείας, καὶ τὰ ταύτης πλεονεκτήματα διηγησάμενοι κατὰ δύναμιν, καὶ πάλιν τῇ προτέρᾳ περὶ βαπτίσματος τῇ ὑμετέρᾳ διεξελθόντες φιληκοΐᾳ, βουλόμεθα καὶ περὶ εὐχῆς ὑμῖν διηγήσασθαι σήμερον·

[00004] τίς γε ἡ ταύτης δύναμις, καὶ τίς ἡ ἀπ' αὐτῆς ὠφέλεια περιγίνεται τοῖς ταύτην συνδιατελοῦσιν.

[00005] Παρακαλῶ οὖν ὑμᾶς, εὐγνωμόνως καὶ εὐλαβῶς ἀκούσατε, τὴν ἀκοὴν εὐθεῖαν τοῖς λεγομένοις ὑποθέντες.

[00006] Μεγίστη οὖσα ἀληθῶς καὶ πρεσβυτέρα, καὶ μήτηρ τῶν ἐντολῶν ἁπασῶν αὕτη τετύχηκεν, ἅπαντα τὰ τοῦ Κυρίου ἀπογεννῶσα προστάγματα.

[00007] Τίς γὰρ εὐχόμενος παριδεῖν τὸν πλησίον πενόμενον δύναται, ἵνα τὸν πόνον τὸν περὶ ταύτην ἀνόνητον ἔχῃ;

[00008] Τίς δὲ τοιούτου πλούτου καὶ περιουσίας ὀρέγεσθαι δύναται, ἵνα τῷ σώματι μόνον ἀναδέχηται κάματον εἰκαῖον, ἀλλαχοῦ που τῆς καρδίας ἁλωμένης;

[00009] Ἔοικε γὰρ τῆς φιλοχρηματίας ἡ νόσος πάθει τινὶ δυσιάτῳ καὶ παραμόνῳ, μήτε τάχιον ἐπάγοντι τὸν θάνατον, μήτε τελείαν τὴν ὑγείαν παρέχοντι, ἀλλὰ κατὰ βραχὺ τὸ σῶμα τῶν οἰκείων ὑπεκλύοντι τόνων, ἄχρις οὗ ταῖς ἐγγινομέναις ἐνολκαῖς ὑποῤῥεῦσαν μετὰ μυρίους καμάτους τῷ κοινῷ τοῦ θανάτου παραπέμψῃ πτώματι.

[00010] Τίς δὲ τῆς εὐχῆς ἐραστὴς νηστείας ἀμελῆσαι δυνήσεται ὑπ' αὐτῆς τῆς Γραφῆς διδασκόμενος, ὅτι Νηστεία καὶ δέησις ἐκ θανάτου ῥύεται.

[00011] Ἄλλως γε οὐ δυνατὸν ἐκ καρδίας ἐπικαλεῖσθαι τὸν Κύριον ἀδηφαγίᾳ καὶ κραιπάλῃ συζῶντα·

[00012] καθὼς καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ τοῖς ἑαυτοῦ μαθηταῖς παρήγγειλεν·

[00013] Βλέπετε, φησὶν, μὴ βαρηθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ.

[00014] Ἡ γὰρ ἀναθυμίασις τοῦ πλήθους τῶν εἰσπορευομένων τροφῶν περὶ τὰ κοῖλα τοῦ ἐγκεφάλου μέρη τὸ περὶ αὐτὸν τὸν λογισμὸν ἐπιθολοῖ χρήσιμον, αὐτὴν ἐπιταράττουσα τὴν καρδίαν, Οὕτως ἡ κατὰ ἀλήθειαν εὐχὴ πασῶν τῶν ἐντολῶν ἀφετηρία τις ὑπάρχει, συμπαρατρέχειν τῷ οἰκείῳ κόσμῳ πάσας καταναγκάζουσα.

[00015] Κορυφαιότατον ἀγαθὸν εὐχὴ καὶ ὁμιλία Θεοῦ·

[00016] κοινωνία γάρ ἐστι καὶ ἕνωσις πρὸς Θεόν·

[00017] καὶ ὥσπερ οἱ τοῦ σώματος ὀφθαλμοὶ φῶς καθορῶντες φωτίζονται, οὕτως καὶ ψυχὴ πρὸς Θεὸν ἐκτεινομένη τῷ ἀνεκλαλήτῳ αὐτοῦ φωτὶ καταλαμπομένη φωτίζεται.

[00018] Εὐχὴ οὖν οὐκ ἐν σχήματι γινομένη, ἀλλ' ἐκ καρδίας ἐπιτελουμένη·

[00019] οὐ καιροῖς καὶ διαστήμασιν ὡρῶν περικλειομένη, ἀλλὰ νύκτωρ καὶ μεθ' ἡμέραν ἄπαυστον τὴν ἐργασίαν ἔχουσα.

[00020] Οὐ γὰρ χρὴ μόνον ἐπὶ τὴν εὐχὴν ἀπιόντα ὀξέως ἀπάγειν τὸν λογισμὸν πρὸς τὸν Θεόν·

[00021] ἀλλὰ δεῖ καὶ ἐπί τινας ἀσχολούμενον χρείας, ἢ περὶ κηδεμονίαν πτωχῶν, ἢ περὶ φροντίδας ἑτέρας, ἢ ἐπωφελεῖς [64.464] εὐποιΐας, τὸν πόθον καὶ τὴν μνήμην τοῦ Θεοῦ καταμίσγειν, ἵνα καθάπερ ἅλατι τῇ τοῦ Θεοῦ ἀρτυομένη ἀγάπῃ, βρῶμα ἡδύτατον τῷ πάντων Δεσπότῃ γίνωνται.

[00022] Δυνάμεθα δὲ τὴν ἐκ ταύτης ὄνησιν παρὰ πάντα τὸν βίον ἀναφαίρετον κτήσασθαι, ταύτῃ τὸ πλεῖστον ἀπονέμοντες τοῦ καιροῦ.

[00023] Εὐχὴ φωτισμὸς ψυχῆς, ἀληθὴς Θεοῦ ἐπίγνωσις, Θεοῦ καὶ ἀνθρώπων μεσίτης, παθῶν ἰατρὸς, ἀλεξιφάρμακον νόσων, γαλήνη ψυχῆς, ὁδηγὸς οὐρανία, οὐ περὶ γῆν στρεφομένη, ἀλλ' εἰς αὐτὴν τῶν οὐρανῶν πορευομένη τὴν ἁψῖδα.

[00024] Ὑπερπηδᾷ κτίσματα, τέμνει νοητῶς τὸν ἀέρα, ὑπὲρ τὸν ἀέρα πορεύεται, διαβαίνει τὰς τῶν ἄστρων χορείας, ἀνοίγει πύλας οὐρανῶν, ὑπὲρ τοὺς ἀγγέλους γίνεται, Θρόνους καὶ Κυριότητας παρέρχεται, διαβαίνει τὰ Χερουβὶμ, καὶ ὑπεράνω πάσης φύσεως γενητῆς γενομένη, πρὸς αὐτὴν τὴν ἀπρόσιτον παραγίνεται Τριάδα.

[00025] Ἐκεῖ προσκυνεῖ τῇ

[00026] Επιτρέπετα

[00027] θεότητι, ἐκεῖ καταξιοῦται συνόμιλος γενέσθαι τῷ οὐρανίῳ βασιλεῖ.

[00028] Δι' αὐτῆς ἡ ψυχὴ μετέωρος ἀρθεῖσα εἰς οὐρανοὺς, περιπλέκεται τῷ Κυρίῳ περιπλοκαῖς ἀῤῥήτοις, ὥσπερ νήπιον πρὸς ἰδίαν μητέρα μετὰ δακρύων βοᾷ τοῦ θείου γλιχομένη γάλακτος·

[00029] αἰτεῖ δὲ τὰ οἰκεῖα θελήματα, καὶ λαμβάνει δωρεὰς κρείττονας πάσης ὁρατῆς φύσεως.

[00030] Πρέσβις γὰρ αἰδέσιμος ὑπάρχει εὐχὴ, χαροποιεῖ τὴν καρδίαν, ἀναπαύει τὴν ψυχὴν, φόβον ἐγγενᾷ κολάσεως, βασιλείας οὐρανῶν ἐπιθυμίαν, ταπεινοφροσύνην διδάσκει, ἐπίγνωσιν ἁμαρτίας παρέχει, ἁπαξαπλῶς πᾶσι κατακοσμεῖ τοῖς ἀγαθοῖς τὸν ἄνθρωπον, ὥσπερ τινὰ πέπλον ποικίλον πᾶσαν φύσιν ἀρετῆς τῇ ψυχῇ περιτιθεῖσα.

[00031] Αὐτὴ καὶ τῇ Ἄννῃ τὸν Σαμουὴλ ἐδωρήσατο, καὶ τοῦτον προφήτην τοῦ Κυρίου ἀπέδειξεν·

[00032] αὐτὴ καὶ τὸν Ἠλίαν ζηλωτὴν τοῦ Κυρίου πεποίηκεν·

[00033] καὶ τῆς ἐπὶ τὴν θυσίαν καθόδου τοῦ οὐρανίου πυρὸς ὁδηγὸς γεγένηται.

[00034] Τῶν γὰρ ἱερέων τῆς Βάαλ πανημέριον ἐπικαλουμένων τὸ εἴδωλον, αὐτὸς ἐκ καθαρᾶς καρδίας τὴν φωνὴν ἀνατείνας, καὶ βοήσας καρδίᾳ καὶ στόματι, τὸ πῦρ κατήγαγεν ἐξ οὐρανῶν, μαρτυρία τῆς εὐχῆς τῆς δικαίας.

[00035] Καθάπερ γάρ τις ἀετὸς ἐπὶ τὸ θυσιαστήριον ἐπιπτὰς, τῷ λάβρῳ τῆς φύσεως κατεκάρπωσεν ἅπαντα.

[00036] Τοῦτο δὲ πεποίηκεν ὁ μέγας θεράπων τοῦ Θεοῦ Ἠλίας ὁ ζηλωτὴς, ἡμᾶς ἐπὶ τὰ πνευματικὰ διὰ τῶν τότε παιδαγωγῶν, ἵνα καὶ ἡμεῖς ἐκ καρδίας πρὸς τὸν Θεὸν βοῶντες, τὸ ἄῤῥητον τοῦ Πνεύματος πῦρ ἐπὶ τὸ θυσιαστήριον τῆς ἡμετέρας καρδίας κατελθεῖν προτρεψώμεθα, διὰ τοῦτο τέλειον ὁλοκάρπωμα γινόμενοι τῷ Κυρίῳ.

[00037] Εὐχὴ καὶ Μωυσῆν τὸν νομοθέτην ἱλαστήριον τοῦ Θεοῦ πεποίηκεν τὸν Ἰσραὴλ, καὶ πρόπαια κατὰ τῶν ἐναντίων τοῖς Ἰσραηλίταις ἔπηξεν.

[00038] Δι' εὐχῆς καὶ Ἰησοῦς, ὁ τοῦ Ναυῆ, τὸ μέγα καὶ περιφανέστατον ἐν τοῖς οὐρανοῖς ἄστρον τὸν ἥλιον, μέσον ἤδη τοῦ πόλου κατατέμνοντα τὸν αἰθέρα, ἐν αὐτῷ τῷ τόπῳ καιρὸν ἡμέρας διατρίψαι πεποίηκεν.

[00039] Οὕτω δὴ ταύτῃ τὰ πρεσβεῖα τῶν ἐντολῶν ὁ Κύριος ἔδωκεν, ὥστε πόλεων [64.465] καὶ κωμῶν καὶ τῶν ἰδίων ἀποφεύγοντα μαθητῶν, ἐν ταῖς ἐρήμοις ὑποχωρεῖν τῆς προσευχῆς ἕνεκεν, ἵνα ἐκτὸς θορύβων καὶ περιστάσεων ἀνθρωπίνων ἐν ἡσυχίᾳ ταύτῃ μετὰ μεγάλου πόθου προσομιλῇ, διδάσκων ἡμᾶς ἅμα, ὅτι χρὴ τὸν τοιαύτην ἐπαγγελλόμενον πολιτείαν, τόπους καταλαμβάνειν ἐρήμους, ἀπερισπάστως τὸ τοιοῦτον πράττοντας.

[00040] Δι' εὐχῆς καὶ τὸ μέγα τῶν ἀποστόλων σύστημα κατηξιώθη τὸν Παράκλητον δέξασθαι σήμερον·

[00041] τούτου γὰρ ἕνεκεν περὶ αὐτῆς ὑμῖν ἠναγκάσθην σήμερον διεξελθεῖν.

[00042] Εὐχὴ, τοῦ σώματος ἐπὶ γῆς κειμένου, τὴν ψυχὴν πρὸς ἐκείνην τὴν ἐπουράνιον ἀποκομίζει πηγὴν, κἀκείνου τοῦ πόματος ἐμφορήσασα ταύτην ποιεῖ ἐν αὐτῇ πηγὴν ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον.

[00043] Αὐτὴ τῶν μελλόντων ἀληθῆ δίδωσιν πληροφορίαν, κρείττονα λοιπὸν πίστεως τὴν ἐπίγνωσιν τῶν ἐκεῖσε παρεχομένη ἀγαθῶν, θησαυροὺς ἀποκρύφους, ἀοράτους, σκοτεινοὺς ἀνοίγει, δεικνύει σοι τὸν ἀντίπαλον·

[00044] τέμνει τὰς τῶν ἀλλοφύλων παρατάξεις, τὰς ἀντικειμένας ἀφανίζει δυνάμεις, καὶ πρὸς αὐτὸν ὁδηγεῖ τὸν βασιλέα.

[00045] Εὐχὴν ὅταν εἴπω, μὴ νομίσῃς λόγους εἶναι.

[00046] Πόθος ἐστὶ πρὸς Θεὸν, ἀγάπη ἀνεκλάλητος, οὐκ ἐξ ἀνθρώπων ἐπιτελουμένη, ἀλλ' ἐκ θείας ἐνεργουμένη χάριτος περὶ ἧς καὶ ὁ Ἀπόστολος λέγει·

[00047] Τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

[00048] Τὴν τοιαύτην εὐχὴν ἐάν τινι χαρίσηται ὁ Κύριος, πλοῦτός ἐστιν ἀναφαίρετος, καὶ σίτισις οὐρανία κορεννύουσα τὴν ψυχήν·

[00049] ἧς ὁ γευσάμενος τὸν πρὸς Κύριον πόθον ἀΐδιον κέκτηται, ὥσπερ πῦρ τι λάβρον τὴν αὐτοῦ καρδίαν ἐκκαῖον.

[00050] Ταύτην δὲ πρωτοτύπως ἐπιτελῶν, ἐπιεικείᾳ καὶ καρδίᾳ ταπεινῇ, ζωγράφει τὸν οἶκόν σου, καταφαίδρυνε τῷ τῆς δικαιοσύνης φωτὶ, ἔργοις ἀγαθοῖς, ὥσπερ τινὶ δοκίμῃ πλακὶ, τὸν σεαυτοῦ διακόσμησον οἶκον, καὶ ἀντὶ τειχέων καὶ ψηφῖδος πίστει

[00051] Επιτρέπετα

[00052] καὶ μακροθυμίᾳ καλλώπισον·

[00053] ἐπὶ πᾶσι τὴν εὐχὴν ὥσπερ ὄροφον εἰς ἀπαρτισμὸν ἐπιτιθεὶς τοῦ οἴκου, ἵνα τέλειον τὸν σαυτοῦ οἶκον παρασκευάσῃ τῷ Δεσπότῃ, καὶ ὥσπερ ἐν οἴκῳ βασιλικῷ καὶ περιφανεῖ τὸν Κύριον ὑποδέξῃ, καθάπερ ἄγαλμα λοιπὸν αὐτὸν ἐν τῷ τῆς ψυχῆς ναῷ καθιδρυμένον ἔχων διὰ τῆς χάριτος αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00054] Ἀμήν.

[00055] Επιτρέπετα

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - De precatione [2]**

**Litterarum Omnium Conspectus: 109 Litterae, quae repetitae sunt in 5,798 occasionibus**

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 468 | Α | 0913 | 3 |
| β | 0946 | 26 | Β | 0914 | 2 |
| γ | 0947 | 93 | Γ | 0915 | 1 |
| δ | 0948 | 89 | Δ | 0916 | 0 |
| ε | 0949 | 316 | Ε | 0917 | 9 |
| ζ | 0950 | 10 | Ζ | 0918 | 0 |
| η | 0951 | 98 | Η | 0919 | 0 |
| θ | 0952 | 74 | Θ | 0920 | 13 |
| ι | 0953 | 248 | Ι | 0921 | 2 |
| κ | 0954 | 193 | Κ | 0922 | 14 |
| λ | 0955 | 140 | Λ | 0923 | 1 |
| μ | 0956 | 153 | Μ | 0924 | 3 |
| ν | 0957 | 494 | Ν | 0925 | 2 |
| ξ | 0958 | 17 | Ξ | 0926 | 0 |
| ο | 0959 | 353 | Ο | 0927 | 4 |
| π | 0960 | 229 | Π | 0928 | 8 |
| ϱ | 0961 | 250 | Ρ | 0929 | 0 |
| ς | 0962 | 221 | • | 0930 | 0 |
| σ | 0963 | 168 | Σ | 0931 | 1 |
| τ | 0964 | 472 | Τ | 0932 | 9 |
| υ | 0965 | 99 | Υ | 0933 | 0 |
| φ | 0966 | 43 | Φ | 0934 | 0 |
| χ | 0967 | 62 | Χ | 0935 | 1 |
| ψ | 0968 | 14 | Ψ | 0936 | 0 |
| ω | 0969 | 76 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 3 | | | 0 |
| ῥ | 8165 | 4 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 67 | έ | 8051 | 79 | ή | 8053 | 35 | ί | 8055 | 114 | ό | 8057 | 52 | ύ | 8059 | 51 | ώ | 8061 | 12 |
| ὰ | 8048 | 37 | ὲ | 8050 | 9 | ὴ | 80852 | 57 | ὶ | 8054 | 80 | ὸ | 8056 | 77 | ὺ | 8058 | 6 | ὼ | 8060 | 1 |
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 38 | ῖ | 8150 | 50 | | | 0 | ῦ | 8166 | 48 | ῶ | 8182 | 50 |
| ἀ | 7936 | 69 | ἐ | 7952 | 70 | ἠ | 7968 | 1 | ἰ | 7984 | 19 | ὀ | 8000 | 3 | ὐ | 8016 | 61 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 6 | ἑ | 7953 | 2 | ἡ | 7969 | 15 | ἱ | 7985 | 4 | ὁ | 8001 | 14 | ὑ | 8017 | 20 | ὡ | 8033 | 1 |
| ἂ | 7938 | 0 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 7 | ἔ | 7956 | 6 | ἤ | 7972 | 1 | ἴ | 7988 | 5 | ὄ | 8004 | 2 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 4 | ἕ | 7957 | 3 | ἥ | 7973 | 1 | ἵ | 7989 | 6 | ὅ | 8005 | 4 | ὕ | 8021 | 5 | ὥ | 8037 | 8 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 4 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 9 | | | 0 | ῃ | 8131 | 16 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 12 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 10 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 19 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De precatione [2]**

**Verborum Omnium Conspectus: 625Verba, quae repetita sunt in 1,319,390 occasionibus**

**ἃ** [00001]
**ἀΐδιον** [00049]
**ἀγαθοῖς** [00030] [00050]
**ἀγαθὸν** [00015]
**ἀγαθῶν** [00043]
**ἄγαλμα** [00053]
**ἀγάπη** [00021]
**ἀγάπη** [00046]
**ἀγγέλους** [00024]
**ἀδηφαγίᾳ** [00011]
**ἀέρα** [00024] [00024]
**ἀετὸς** [00035]
**αἱ** [00013]
**αἰδέσιμος** [00030]
**αἰθέρα** [00038]
**αἰτεῖ** [00029]

**αἰῶνας** [00053]
**αἰώνιον** [00042]
**αἰώνων** [00053]
**ἀκοὴν** [00005]
**ἀκούσατε** [00005]
**ἀλαλήτοις** [00047]
**ἅλατι** [00021]
**ἀλεξιφάρμακον** [00023]
**ἀλήθειαν** [00014]
**ἀληθῆ** [00043]
**ἀληθὴς** [00023]
**ἀληθῶς** [00006]
**ἀλλ** [00018] [00023] [00046] [00047]
**ἀλλὰ** [00009] [00019] [00021]
**ἀλλαχοῦ** [00008]
**ἁλλομένου** [00042]
**ἀλλοφύλων** [00044]
**Ἄλλως** [00011]
**ἁλωμένης** [00008]
**ἅμα** [00039]
**ἁμαρτίας** [00030]
**ἀμελῆσαι** [00010]
**Ἀμήν** [00054]
**ἀναδέχηται** [00008]
**ἀναθυμίασις** [00014]
**ἀναπαύει** [00030]
**ἀνατείνας** [00034]
**ἀναφαίρετον** [00022]
**ἀναφαίρετος** [00048]
**ἀνεκλάλητος** [00046]
**ἀνεκλαλήτῳ** [00017]
**ἀνθρωπίνων** [00039]
**ἄνθρωπον** [00030]
**ἀνθρώπων** [00023] [00046]
**Ἄννῃ** [00031]
**ἀνοίγει** [00024] [00043]
**ἀνόνητον** [00007]
**ἀντὶ** [00050]
**ἀντικειμένας** [00044]
**ἀντίπαλον** [00043]
**ἀοράτους** [00043]
**ἀπ** [00004]
**ἀπάγειν** [00020]
**ἅπαντα** [00006] [00035]
**ἁπαξαπλῶς** [00030]
**ἀπαρτισμὸν** [00053]
**ἁπασῶν** [00006]
**ἄπαυστον** [00019]
**ἀπέδειξεν** [00031]
**ἀπερισπάστως** [00039]
**ἀπιόντα** [00020]
**ἀπογεννῶσα** [00006]
**ἀποκομίζει** [00042]
**ἀποκρύφους** [00043]
**ἀπονέμοντες** [00022]
**Ἀπόστολος** [00046]
**ἀποστόλων** [00040]
**ἀποφεύγοντα** [00039]
**ἀπρόσιτον** [00024]
**ἀρετῆς** [00030]
**ἀρθεῖσα** [00028]
**ἀῤῥήτοις** [00028]
**ἄῤῥητον** [00036]
**ἀρτυομένη** [00021]
**ἄστρον** [00038]
**ἄστρων** [00024]
**ἀσχολούμενον** [00021]
**Αὐτὴ** [00031] [00043]
**αὐτὴ** [00032]
**αὐτῇ** [00042]
**αὕτη** [00006]
**αὐτὴν** [00014] [00023] [00024]
**αὐτῆς** [00004] [00010] [00028] [00041]
**αὐτὸ** [00047]
**αὐτὸν** [00014] [00044] [00053]
**αὐτὸς** [00034]
**αὐτοῦ** [00017] [00049] [00053]
**αὐτῷ** [00038] [00053]
**ἀφανίζει** [00044]
**ἀφετηρία** [00014]
**ἄχρις** [00009]
**ἁψῖδα** [00023]

**Βάαλ** [00034]
**βαπτίσματος** [00003]
**βαρηθῶσιν** [00013]
**βασιλέα** [00044]
**βασιλεῖ** [00027]
**βασιλείας** [00030]
**βασιλικῷ** [00053]
**βίον** [00022]
**Βλέπετε** [00013]
**βοᾷ** [00028]
**βοήσας** [00034]
**βουλόμεθα** [00003]
**βοῶντες** [00036]
**βραχὺ** [00009]
**βρῶμα** [00021]

**γάλακτος** [00028]
**γαλήνη** [00023]
**γὰρ** [00007] [00009] [00014] [00020] [00030] [00034] [00041] [00047]
**γάρ** [00016] [00035]
**γε** [00004] [00011]
**γεγένηται** [00033]
**γενέσθαι** [00027]
**γενητῆς** [00024]
**γενομένη** [00024]
**γευσάμενος** [00049]
**γῆν** [00023]
**γῆς** [00042]
**γίνεται** [00024]

**γινομένη** [00018]
**γινόμενοι** [00036]
**γίνωνται** [00021]
**γλιχομένη** [00028]
**Γραφῆς** [00010]

**δακρύων** [00028]
**δὲ** [00008] [00010] [00022] [00029] [00036] [00050]
**δέησις** [00010]
**δεῖ** [00021] [00047]
**δεικνύει** [00043]
**δέξασθαι** [00040]
**Δεσπότῃ** [00021] [00053]
**δὴ** [00039]
**Δι** [00028] [00038] [00040]
**διὰ** [00036] [00036] [00053]
**διαβαίνει** [00024] [00024]
**διακόσμησον** [00050]
**διαστήμασιν** [00019]
**διατρίψαι** [00038]
**διδάσκει** [00030]
**διδασκόμενος** [00010]
**διδάσκων** [00039]
**δίδωσιν** [00043]
**διεξελθεῖν** [00041]
**διεξελθόντες** [00003] [00003]
**διηγησάμενοι** [00003]
**διηγήσασθαι** [00003]
**δικαίας** [00034]
**δικαιοσύνης** [00050]
**δοκίμῃ** [00050]
**δόξα** [00053]
**Δυνάμεθα** [00022]
**δυνάμεις** [00044]
**δύναμιν** [00003]
**δύναμις** [00004]
**δύναται** [00007] [00008]
**δυνατὸν** [00011]
**δυνήσεται** [00010]
**δυσιάτῳ** [00009]
**δωρεὰς** [00029]

**ἐάν** [00048]
**ἑαυτοῦ** [00012]
**ἐγγενᾷ** [00030]
**ἐγγινομέναις** [00009]
**ἐγκεφάλου** [00014]
**ἔδωκεν** [00039]
**ἐδωρήσατο** [00031]
**εἴδωλον** [00034]
**εἰκαῖον** [00008]
**εἶναι** [00045]
**εἴπω** [00045]
**εἰς** [00023] [00028] [00042] [00053] [00053]
**εἰσπορευομένων** [00014]
**ἐκ** [00010] [00011] [00018] [00022] [00034] [00036] [00046]
**ἐκεῖ** [00027]
**Ἐκεῖ** [00025]
**ἐκείνην** [00042]
**ἐκεῖσε** [00043]
**ἐκκαῖον** [00049]
**ἐκτεινομένη** [00017]
**ἐκτὸς** [00039]
**ἐμφορήσασα** [00042]
**ἐν** [00012] [00013] [00018] [00038] [00038] [00039] [00039] [00042] [00053] [00053]
**ἐναντίων** [00037]
**ἕνεκεν** [00039] [00041]
**ἐνεργουμένη** [00046]
**ἐνολκαῖς** [00009]
**ἐντολῶν** [00006] [00014] [00039]
**ἕνωσις** [00016]
**ἐξ** [00034] [00046]
**Ἔοικε** [00009]
**ἐπαγγελλόμενον** [00039]
**ἐπάγοντι** [00009]
**ἔπηξεν** [00037]
**ἐπὶ** [00020] [00033] [00035] [00036] [00036] [00042] [00053]
**ἐπί** [00021]
**ἐπίγνωσιν** [00030] [00043]
**ἐπίγνωσις** [00023]
**ἐπιεικείᾳ** [00050]
**ἐπιθολοῖ** [00014]
**ἐπιθυμίαν** [00030]
**ἐπικαλεῖσθαι** [00011]
**ἐπικαλουμένων** [00034]
**ἐπιπτὰς** [00035]
**ἐπιταράττουσα** [00014]
**ἐπιτελουμένη** [00018] [00046]
**ἐπιτελῶν** [00050]
**ἐπιτιθεὶς** [00053]
**Επιτρέπετα** [00026] [00051] [00055]
**ἐπουράνιον** [00042]
**ἐπωφελεῖς** [00021]
**ἐραστὴς** [00010]
**ἐργασίαν** [00019]
**ἔργοις** [00050]
**ἐρήμοις** [00039]
**ἐρήμους** [00039]
**ἐστὶ** [00046]
**ἐστι** [00016]
**ἐστιν** [00048]
**ἑτέρας** [00021]
**Εὐαγγελίῳ** [00012]
**εὐγνωμόνως** [00005]
**εὐθεῖαν** [00005]
**εὐλαβῶς** [00005]
**εὐποιΐας** [00021]
**Εὐχὴ** [00018] [00023] [00037] [00042]
**εὐχὴ** [00014] [00015] [00030]
**Εὐχὴν** [00045]
**εὐχὴν** [00020] [00048] [00053]
**εὐχῆς** [00002] [00003] [00010] [00034] [00038] [00040]

**εὐχόμενος** [00007]
**ἔχῃ** [00007]
**ἔχουσα** [00019]
**ἔχων** [00053]

**ζηλωτὴν** [00032]
**ζηλωτὴς** [00036]
**ζωγράφει** [00050]
**ζωὴν** [00042]

**ἡ** [00004] [00004] [00009] [00014] [00028] [00053]
**ἢ** [00021] [00021] [00021]
**Ἡ** [00014]
**ἤδη** [00038]
**ἡδύτατον** [00021]
**Ἠλίαν** [00032]
**Ἠλίας** [00036]
**ἥλιον** [00038]
**ἡμᾶς** [00036] [00039]
**ἡμεῖς** [00036]
**ἡμέραν** [00019]
**ἡμέρας** [00038]
**ἡμετέρας** [00036]
**ἡμῶν** [00047]
**ἠναγκάσθην** [00041]
**ἧς** [00046]
**ἧς** [00049]
**ἡσυχίᾳ** [00039]

**θάνατον** [00009]
**θανάτου** [00009] [00010]
**θείας** [00046]
**θείου** [00028]
**θελήματα** [00029]
**Θεὸν** [00017] [00036] [00046]
**Θεόν** [00016] [00020]
**θεότητι** [00027]
**Θεοῦ** [00015] [00021] [00021] [00023] [00023] [00036] [00037]
**θεράπων** [00036]
**θησαυροὺς** [00043]
**θορύβων** [00039]
**Θρόνους** [00024]
**θυσίαν** [00033]
**θυσιαστήριον** [00035] [00036]

**ἰατρὸς** [00023]
**ἰδίαν** [00028]
**ἰδίων** [00039]
**ἱερέων** [00034]
**Ἰησοῦς** [00038]
**ἱλαστήριον** [00037]
**ἵνα** [00007] [00008] [00021] [00036] [00039] [00053]
**Ἰσραὴλ** [00037]
**Ἰσραηλίταις** [00037]

**Καθάπερ** [00035]
**καθάπερ** [00021] [00053]
**καθαρᾶς** [00034]
**καθιδρυμένον** [00053]
**καθὸ** [00047]
**καθόδου** [00033]
**καθορῶντες** [00017]
**καθὼς** [00012]
**καιροῖς** [00019]
**καιρὸν** [00038]
**καιροῦ** [00022]
**κἀκείνου** [00042]
**καλλώπισον** [00052]
**κάματον** [00008]
**καμάτους** [00009]
**καρδίᾳ** [00034] [00050]
**καρδίαι** [00013]
**καρδίαν** [00014] [00030] [00049]
**καρδίας** [00008] [00011] [00018] [00034] [00036] [00036]
**κατακοσμεῖ** [00030]
**καταλαμβάνειν** [00039]
**καταλαμπομένη** [00017]
**καταμίσγειν** [00021]
**καταναγκάζουσα** [00014]
**καταξιοῦται** [00027]
**κατατέμνοντα** [00038]
**καταφαίδρυνε** [00050]
**κατεκάρπωσεν** [00035]
**κατελθεῖν** [00036]
**κατήγαγεν** [00034]
**κατηξιώθη** [00040]
**κειμένου** [00042]
**κέκτηται** [00049]
**κηδεμονίαν** [00021]
**κοῖλα** [00014]
**κοινῷ** [00009]
**κοινωνία** [00016]
**κολάσεως** [00030]
**κορεννύουσα** [00048]
**Κορυφαιότατον** [00015]
**κόσμῳ** [00014]
**κραιπάλῃ** [00011] [00013]
**κράτος** [00053]
**κρείττονα** [00043]
**κρείττονας** [00029]
**κτήσασθαι** [00022]
**κτίσματα** [00024]
**Κύριον** [00011] [00049] [00053]
**Κύριος** [00012] [00039] [00048]
**Κυριότητας** [00024]
**Κυρίου** [00006] [00031] [00032]
**Κυρίῳ** [00028] [00036]

**κωμῶν** [00039]

**λάβρον** [00049]
**λάβρῳ** [00035]
**λαμβάνει** [00029]
**λέγει** [00046]
**λεγομένοις** [00005]
**λογισμὸν** [00014] [00020]
**λόγους** [00045]
**λοιπὸν** [00043] [00053]

**μαθηταῖς** [00012]
**μαθητῶν** [00039]
**μακροθυμίᾳ** [00052]
**μαρτυρία** [00034]
**μέγα** [00038] [00040]
**μεγάλου** [00039]
**μέγας** [00036]
**Μεγίστη** [00006]
**μεθ** [00019]
**μέθη** [00013]
**μελλόντων** [00043]
**μέρη** [00014]
**μεσίτης** [00023]
**μέσον** [00038]
**μετέωρος** [00028]
**μήτε** [00009] [00009]
**μητέρα** [00028]
**μήτηρ** [00006]
**μνήμην** [00021]
**μόνον** [00008] [00020]
**μυρίους** [00009]
**Μωυσῆν** [00037]

**Ναυῆ** [00038]
**ναῷ** [00053]
**νήπιον** [00028]
**Νηστεία** [00010]
**νηστείας** [00003] [00010]
**νοητῶς** [00024]
**νομίσης** [00045]
**νομοθέτην** [00037]
**νόσος** [00009]
**νόσων** [00023]
**νύκτωρ** [00019]

**ὁ** [00012] [00036] [00036] [00038] [00039] [00046] [00048] [00049]
**ὁδηγεῖ** [00044]
**ὁδηγὸς** [00023] [00033]
**οἱ** [00017]
**οἴδαμεν** [00047]
**οἰκεῖα** [00029]
**οἰκείῳ** [00014]
**οἰκείων** [00009]
**οἰκόν** [00050]
**οἶκον** [00050] [00053]
**οἴκου** [00053]
**οἴκῳ** [00053]
**ὁλοκάρπωμα** [00036]
**ὁμιλία** [00015]
**ΟΜΙΛΙΑ** [00001]
**ὄνησιν** [00022]
**ὀξέως** [00020]
**ὁρατὴς** [00029]
**ὀρέγεσθαι** [00008]
**ὄροφον** [00053]
**ὅταν** [00045]
**ὅτι** [00010] [00039] [00053]
**Οὐ** [00020]
**οὐ** [00011] [00019] [00023]
**οὑ** [00009]
**οὐκ** [00018] [00046] [00047]
**οὖν** [00005] [00018]
**οὐρανία** [00023] [00048]
**οὐρανίου** [00033]
**οὐρανίῳ** [00027]
**οὐρανοῖς** [00038]
**οὐρανοὺς** [00028]
**οὐρανῶν** [00023] [00024] [00030] [00034]
**οὖσα** [00006]
**Οὕτω** [00039]
**Οὕτως** [00014]
**οὕτως** [00017]
**ὀφθαλμοὶ** [00017]

**πάθει** [00009]
**παθῶν** [00023]
**παιδαγωγῶν** [00036]
**πάλιν** [00003]
**πανημέριον** [00034]
**πάντα** [00022]
**πάντων** [00021]
**παρὰ** [00022]
**παραγίνεται** [00024]
**Παρακαλῶ** [00005]
**Παράκλητον** [00040]
**παραμόνῳ** [00009]
**παραπέμψη** [00009]
**παρασκευάση** [00053]
**παρατάξεις** [00044]
**παρέρχεται** [00024]
**παρέχει** [00030]
**παρεχομένη** [00043]
**παρέχοντι** [00009]
**παρήγγειλεν** [00012]
**παριδεῖν** [00007]

πᾶσαν [00030]
πάσας [00014]
πάσης [00024] [00029]
πᾶσι [00030] [00053]
πασῶν [00014]
πενόμενον [00007]
πέπλον [00030]
πεποίηκεν [00032] [00036] [00037] [00038]
Περὶ [00002]
περὶ [00003] [00003] [00003] [00007] [00014] [00014] [00021] [00021] [00023] [00041] [00046]
περιγίνεται [00004]
περικλειομένη [00019]
περιουσίας [00008]
περιπλέκεται [00028]
περιπλοκαῖς [00028]
περιστάσεων [00039]
περιτιθεῖσα [00030]
περιφανεῖ [00053]
περιφανέστατον [00038]
πηγὴν [00042] [00042]
πίστει [00050]
πίστεως [00043]
πλακὶ [00050]
πλεῖστον [00022]
πλεονεκτήματα [00003]
πλήθους [00014]
πληροφορίαν [00043]
πλησίον [00007]
πλοῦτός [00048]
πλούτου [00008]
Πνεῦμα [00047]
πνευματικὰ [00036]
Πνεύματος [00036]
πόθον [00021] [00049]
Πόθος [00046]
πόθου [00039]
ποιεῖ [00042]
ποικίλον [00030]
πόλεων [00039]
πολιτείαν [00039]
πόλου [00038]
πόματος [00042]
πόνον [00007]
πορεύεται [00024]
πορευομένη [00023]
που [00008]
πράττοντας [00039]
πρεσβεῖα [00039]
Πρέσβις [00030]
πρεσβυτέρα [00006]
πρόπαια [00037]
πρὸς [00016] [00017] [00020] [00024] [00028] [00036] [00042] [00044] [00046] [00049]
προσευξώμεθα [00047]
προσευχῆς [00039]
προσκυνεῖ [00025]
προσομιλῇ [00039]
προστάγματα [00006]
προτέρᾳ [00003]
Πρότερον [00003]
προτρεψώμεθα [00036]
προφήτην [00031]
πρωτοτύπως [00050]
πτώματι [00009]
πτωχῶν [00021]
πύλας [00024]
πῦρ [00034] [00036] [00049]
πυρὸς [00033]

ῥύεται [00010]

Σαμουὴλ [00031]
σαυτοῦ [00053]
σεαυτοῦ [00050]
σήμερον [00003] [00040] [00041]
σίτισις [00048]
σκοτεινοὺς [00043]
σοι [00043]
σου [00050]
στεναγμοῖς [00047]
στόματι [00034]
στρεφομένη [00023]
συζῶντα [00011]
συμπαρατρέχειν [00014]
συνδιατελοῦσιν [00004]
συνόμιλος [00027]
σύστημα [00040]
σχήματι [00018]
σῶμα [00009]
σώματι [00008]
σώματος [00017] [00042]

τὰ [00003] [00006] [00014] [00024] [00029] [00036] [00039]
ταῖς [00009] [00039]
ταπεινῇ [00050]
ταπεινοφροσύνην [00030]
τὰς [00024] [00044] [00044]
ταύτῃ [00022] [00039] [00039]
Ταύτην [00050]
ταύτην [00004] [00007] [00042]
ταύτης [00003] [00004] [00022]
τάχιον [00009]
τειχέων [00050]
τελείαν [00009]
τέλειον [00036] [00053]
τέμνει [00024] [00044]
τετύχηκεν [00006]
τῇ [00003] [00003] [00021] [00025] [00030] [00031]
Τὴν [00048]
τὴν [00005] [00009] [00014] [00019] [00020] [00021] [00022] [00023] [00024] [00030] [00030] [00033] [00034] [00042] [00042] [00043] [00048] [00049] [00053]
τῆς [00008] [00009] [00010] [00010] [00033] [00034] [00034] [00034] [00035] [00036] [00039] [00050] [00053] [00053]

**τί** [00047]
**τι** [00049]
**τινὰ** [00030]
**τινας** [00021]
**τινὶ** [00009] [00050]
**τινι** [00048]
**Τίς** [00007] [00008] [00010]
**τίς** [00004] [00004]
**τις** [00014] [00035]
**Τὸ** [00047]
**τὸ** [00009] [00014] [00022] [00034] [00034] [00035] [00036] [00036] [00038] [00039] [00040] [00047] [00053]
**τοιαύτην** [00039] [00048]
**τοιοῦτον** [00039]
**τοιούτου** [00008]
**τοῖς** [00004] [00005] [00012] [00030] [00037] [00038]
**τὸν** [00007] [00007] [00007] [00009] [00011] [00014] [00020] [00020] [00021] [00022] [00024] [00024] [00030] [00031] [00032] [00036] [00037] [00037] [00038] [00038] [00039] [00040] [00043] [00044] [00049] [00050] [00050] [00053] [00053]
**τόνων** [00009]
**τόπους** [00039]
**τόπῳ** [00038]
**τότε** [00036]
**τοῦ** [00006] [00009] [00014] [00014] [00017] [00021] [00021] [00022] [00028] [00031] [00032] [00033] [00036] [00036] [00037] [00038] [00038] [00042] [00042] [00053]
**τοὺς** [00024] [00053]
**Τοῦτο** [00036]
**τοῦτο** [00036]
**τοῦτον** [00031]
**τούτου** [00041]
**Τριάδα** [00024]
**τροφῶν** [00014]
**τῷ** [00008] [00009] [00012] [00014] [00017] [00021] [00027] [00028] [00035] [00036] [00038] [00050] [00053] [00053]
**Τῶν** [00034]
**τῶν** [00006] [00009] [00014] [00014] [00023] [00024] [00036] [00037] [00039] [00039] [00040] [00043] [00043] [00044] [00053]

**ὑγείαν** [00009]
**ὕδατος** [00042]
**ὑμᾶς** [00005]
**ὑμετέρᾳ** [00003]
**ὑμῖν** [00003] [00003] [00041]
**ὑμῶν** [00013]
**ὑπ** [00010]
**ὑπάρχει** [00014] [00030]
**ὑπεκλύοντι** [00009]
**ὑπὲρ** [00024] [00024] [00047]
**ὑπεράνω** [00024]
**ὑπερεντυγχάνει** [00047]
**Ὑπερπηδᾷ** [00024]
**ὑποδέξῃ** [00053]
**ὑποθέντες** [00005]
**ὑποῤῥεῦσαν** [00009]
**ὑποχωρεῖν** [00039]

**φησὶν** [00013]
**φιληκοΐᾳ** [00003]
**φιλοχρηματίας** [00009]
**φόβον** [00030]
**φροντίδας** [00021]
**φύσεως** [00024] [00029] [00035]
**φύσιν** [00030]
**φωνὴν** [00034]
**φῶς** [00017]
**φωτὶ** [00017] [00050]
**φωτίζεται** [00017]
**φωτίζονται** [00017]
**φωτισμὸς** [00023]

**χαρίσηται** [00048]
**χάριτος** [00046] [00053]
**χαροποιεῖ** [00030]
**Χερουβὶμ** [00024]
**χορείας** [00024]
**χρείας** [00021]
**χρὴ** [00020] [00039]
**χρήσιμον** [00014]

**ψηφίδος** [00050]
**ψυχὴ** [00017] [00028]
**ψυχῇ** [00030]
**ψυχὴν** [00030] [00042]
**ψυχήν** [00048]
**ψυχῆς** [00023] [00023] [00053]

**ὡρῶν** [00019]
**ὥσπερ** [00017] [00028] [00030] [00049] [00050] [00053] [00053]
**ὥστε** [00039]
**ὠφέλεια** [00004]